ἁμαρτίαις διατελῶν, ὡς δίκαιος θέλω νομίζεσθαι· A ψευδόμενος, ἐπὶ τοὺς ψεύστας ἄχθομαι. ῥυπῶν τε ἐν τῷ νοΐ, κατὰ τῶν πόρνων ἀποφαίνομαι. κλέπτων τοὺς κλέπτας, ἀδικῶ τοὺς πένητας. δικαστήριον ἱστῶ πρὸς τοὺς λοιδόρους, ἄτιμος ὢν αὐτός. φαιδρὸς προέρχομαι, ὅλος ὢν ἀκάθαρτος. ἐπὶ ἐκκλησίᾳ πρῶτος ἵσταμαι, μηδὲ τελευταῖος ὑπάρχων. Τιμὴν ἀπαιτῶ, χρεωστῶν αἰσχύνην. ἀσπασμοὺς εἰσπράττομαι, ὀφείλων ἐμπτύεσθαι. ὁρῶ μοναχοὺς, καὶ σεμνύνομαι. κο- B σμικοὺς βλέπω, καὶ ἀλαζονεύομαι. γυναιξὶν ὀφθῆναι θέλω χαρίεις, καὶ πλουσίοις εὐσεβής· ξένοις ὠφρυωμένος, καὶ οἰκείοις συνετὸς, καὶ φρόνιμος· συγγενέσιν ἐπίδοξος, καὶ φρονίμοις τελειότερος· πρὸς τοὺς εὐσεβεῖς ὡς σοφώτερος γίνομαι· ἀφρόνων δὲ, ὡς κτηνῶν, καταφρονῶ. Ἐὰν ὑβρισθῶ, ἀμύνομαι. ἐὰν μὴ τιμηθῶ, βδελύττομαι. ἐὰν κατὰ τὸ δίκαιον ἀπαιτηθῶ, δικάζομαι· καὶ τοὺς τὸ ἀληθῆ μοι λέγοντας, C ὡς ἐχθροὺς λογίζομαι. ἀναξιοπαθῶ, ἐλεγχόμενος· μὴ κολακευόμενος, ὀργίζομαι· οὐ θέλω καμεῖν, καὶ εἰ μή τις λειτουργῇ μοι, ὀργίζομαι αὐτῷ. Οὐ θέλω συνελθεῖν, κἂν μή τις μοι ὑπηρετεῖ, κακολογῶ αὐτὸν, ὡς ὑπερήφανον. Ἐν ἀνάγκαις τὸν ἀδελφὸν ἀγνοῶ· εἰ δὲ ὑγιαίνει, προτρέπομαι αὐτόν. ἀσθενοῦντα μισῶ, καὶ ἀσθενῶν ἐγὼ φιλεῖσθαι βούλομαι. μειζόνων περιφρονῶ, καὶ συντυγχάνων ὑποκρίνομαι· D ἀπὼν καταλαλῶ, καὶ παρὼν κολακεύω· οὐ θέλω τιμῆσαι τὸν ἄξιον· καὶ ἀνάξιος ὢν, τιμὰς ἀπαιτῶ. Ἐῶ γὰρ λέγειν περὶ τῶν ἐν διανοίᾳ λογισμῶν, περὶ τοῦ Νόμου καὶ Προφητῶν, περὶ τοῦ Εὐαγγελίου, ὅσα ἐπιλαμβάνομαι, καὶ τῶν Ἀποστόλων, περὶ τῶν ἐν ἐκκλησίᾳ Διδασκάλων, καὶ κηρυττόντων, καὶ λειτουργούντων, ἀναγινωσκόντων, οἰκονομούντων, ἐπισκοπούντων· τὰς καθ' ἡμέραν τῶν λογισμῶν ἐφευρέσεις, τὰς φροντίδας τῆς ματαιότητος, τὰς ἐν ταῖς εὐχαῖς ὀλιγωρίας, τὰς ἐν ταῖς καταλαλιαῖς E εὐτονίας. Ὅπως ἐάν τις μυθολογεῖ, τέρπομαι· ἀηδίζομαι δὲ τὸν περὶ ἐγκρατείας λέγοντα· πῶς ἀνατρέπομαι, ἐάν τις ἀναγινώσκῃ Θείαν Γραφήν· τοὺς δὲ ἐν ζητήσεσι καὶ μάχαις διηγουμένους ἥδομαι· τὰς ἐπιπλάστους κολακείας, ἵνα μὴ ἐν ταῖς εὐχαῖς ἐγείρωμαι· τὰς εἰς ἐκκλησίαν βαναύσους ὁδούς· τὰς ἐξ ἐπίτηδες βραδύτητας· τὰς ἐν ταῖς συνάξεσι φλυαρίας· τὰς τῶν τρα- F πεζῶν ἐπιμελείας· τὰς ἐν αὐτοῖς τοῖς ἁγίοις καταλαλιάς· τὰς περὶ τὰς εὐχὰς ῥαθυμίας· τὰς ἐπὶ σχήματος ψαλμῳδίας· τὰς ἐπιτετηδευμένας ἀπαντήσεις· τὰς ἐπικερδεῖς συναλλαγάς· ὑποκρινομένας τῶν εὐσεβῶν γυναικῶν συντυχίας· τὰς συνεχεῖς κλήσεις· τὰς τῶν χρῃζόντων παροράσεις· τὰς ἀποστερήσεις τῶν κι-

ctus peccatis, pro justo tamen existimari volo. Mendax sum, & mendaces reprehendo. Mente ipse sordidus, libidinosos insector. Fures redarguo, & pauperes injuria afficio. Contumeliosos accuso & condemno, cum ipse eidem obnoxius sim vitio. Splendide incedo, cum totus sim immundus. In ecclesia primum locum occupo, cum ne postremum quidem merear. Honorem appeto, ipse potius ignominia dignus. Salutationes capto, cum ab aliis sim conspuendus. Monachos adspicio, & gravem me gero. Homines seculares video, & insolentia efferor. Fœminis videri volo gratiosus, divitibus pius, hospitibus gravis, domesticis cordatus ac prudens, propinquis honorabilis, & perfectus prudentibus. Inter homines pios ac religiosos ut sapientior versor. Simpliciores, veluti jumenta, despicio. Si contumelia ab aliquo afficiar, ulciscor. Si a quoquam redarguar, succenseo. Si quis juste quid a me repetat, litigo. Vera mihi dicentes, ut inimicos æstimo. Reprehensus ægre fero. Non adulantibus irascor. Laborare nolo; & si quis ministrare mihi recusaverit, in eum stomachor. Operantibus auxilium denego: & siquis suam mihi operam detrectaverit, illi veluti superbo maledico. In necessitate fratrem non agnosco: at si sanus fuerit, cunctantem urgeo. Ægrotantem odi; & si ipse ægrotavero, ab omnibus amari volo. Majores contemno, & in congressibus ficte ac simulate ago. Absens detraho, & præsens adulor. Honorare eos qui honore digni sunt, nolo; & indignus cum sim, honores ab aliis exigo. Omitto recensere cogitationes mentis meæ de Lege, de Prophetis, de Euangelio (quibus premor atque corripior) & de Apostolis, de Ecclesiæ Doctoribus, de Prædicatoribus, de Ministris, de Lectoribus, de Dispensatoribus, & de Episcopis. Prætereo quas quotidie novas curarum cogitationes invenio, vanitatis sollicitudines, in precibus negligentiam atque desidiam, & in obtrectationibus vigorem. Si quis forte narret fabulas, oblector. Si de temperantia loquatur ac continentia, contristor. Si divinam quis scripturam legat, conturbor. De quæstionibus concertantes audire, mihi jucundum est. Omitto fictas assentationes, ut ad preces non assurgam: triviales item ac minus religiosos in ecclesiam ingressus: conquisitas de industria tarditates: futiles in congregationibus sermones: nimiam in apparandis epulis curam, in ipsis sacris locis obtrectationes, in orando pigritiam, in psallendo negligentiam, in decipiendo studium, in lucrando artificium, simulata cum piis mulierculis colloquia, compellationesque crebras, indigentium contemtionem, divi-